δόκοις δόμοις τῶν ξενοδόκων καιρὸς τὴν ἄγκυραν προσ-ορμίσαι τοὺς ὁδοιπόρους. ἀντὶ τοῦ, καταλῦσαι. Τελεσφόρος] ἀρχηγός· διοικητής. Εὐπρεπέςερον] βέλ-τιον ἄνδρα ἐξελθεῖν. Ἐν λεχθεῖσιν] ἐν ταῖς πρὸς γυ-ναῖκας ὁμιλίαν. Οὐκ ἐπαργέμους] σκοτεινοὺς, ἀπὸ τῶν περὶ τοὺς ὀφθαλμοὺς λευκωμάτων. πλεονάζει ἡ οὐ.

630. Δικαίων τ' ὀμμάτων παρουσία] ἀντὶ τοῦ, καὶ δίκαιοι ἄνθρωποι. Βουλιώτερον] βουλευτικώτερον. ὅ ἐςιν, εἰ οὐ διὰ ξενίαν ἥκετε, ἀλλὰ δι' ἄλλό τι. Δαυ-λιεὺς] Δαυλὶς, ἢ καὶ Αὐλίς. Αὐτόφορτον] ἐπὶ ἰδίᾳ πραγματείᾳ. Ἀπεζύγην] τῆς ὁδοῦ τῆς ὁδοιπορίας ἀ-πέλυσα, ἐπὶ τῷ ξενισθῆναι παρ' ὑμῖν. ἐκ μεταφορᾶς τῶν ἀπολυομένων τοῦ ζυγοῦ ἵππων, καὶ ἐπὶ φάτνην ὁρμώντων.

640. Ἐξιςορήσας] ἐρωτήσας καὶ μαθών. Πεύθο-μαι] ἤκουσα γὰρ ἐν τῷ μου πρὸς αὐτὸν διαλόγῳ, ὅτι Στρόφιος προσαγορεύεται. Ἄλλως] δι' ἄλλην χρείαν. Πρὸς τοὺς τεκόντας] τὸ ἑξῆς, ἀγνὼς πρὸς ἀγνῶτα εἶ-πεν, ἐπείπερ, ὦ ξένε. τὰ δὲ ἄλλα, διὰ μέσου. Μη-δαμῶς] μηδαμῶς λάθῃ με ἡ βουλὴ τῶν φίλων. λέγει δὲ τῶν περὶ Αἴγισθον. Εἴτ' οὖν κομίζειν] εἰς τοὺς οἴ-κους. Πόρθμευσον] διακόνησον.

650. Εἰ δὲ τυγχάνω] πιθανῶς· ἵνα δοκῇ ὅλως ἀγνο-εῖν! Ὦ δυσπάλαιςε] ὦ δυσκαταγώνιςε. Ἐπωπᾷς] ἐφορᾷς πολλὰ τὰ ἡμέτερα ἀτυχήματα. Κᾀκποδῶν] καὶ τὰ πόῤῥωθεν καλῶς κείμενα τῶν φίλων. ὅ ἐςι, τὰ ἐπὶ ξένης ἀγαθὰ ἐνδιαιτήματα τοῦ Ὀρέςου τοῖς τόξοις